# *Βυζαντινὰ συμβόλαια.*

*Τῷ εὐμενεῖ τῶν μετὰ χεῖρας ἐγγράφων ἀναγνώστῃ περιττὸν εἰπεῖν με προλογιζόμενον, ὅτι τὴν γένεσιν ἀναφέρουσιν ἄμφω εἰς τοὺς πρὸ τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως χρόνους, εἰσὶ δ' ἔγγραφα περὶ ὑποθέσεων ἰδιωτικῶν· καὶ τὸ μὲν πρῶτον, γαμικόν ἐστι συνάλλαγμα, τὸ δὲ δεύτερον, ἔγγραφον πράσεως, γράμμα πωλητήριον, ὡς σήμερον λέγεται κοινῶς. Ἀμφότερα ἀναγινώσκει τις ἐν τῷ φέροντι παλαιὸν ἀριθμὸν ΡΞ'* (160) *χαρτίνῳ σπουδαιοτάτῳ χειρογράφῳ τῆς βιβλιοθήκης τοῦ ἐν Φαναρίῳ Κωνσταντινουπόλεως Ἁγιοταφικοῦ Μετοχίου, ἐπὶ χάρτου γεγραμμένῳ περὶ τὰς δυσμὰς τῆς ΙΕ' ἑκατονταετηρίδος. Ἀπὸ τοῦ χειρογράφου τούτου μεταγράψας ἐξέδωκα τρία γράμματα*[1]), *ὧν ἕν ἐστιν ἐπιστολὴ Ματθαίου τοῦ Καμαριώτου, πρωτοδιδασκάλου τῆς πατριαρχικῆς Ἀκαδημίας, ἐκ Θεσσαλονίκης ἐπιστελλομένη πρὸς τὸν πρώην μὲν ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως, εἶτα δὲ πρόεδρον τῆς ἀρχιεπισκοπῆς Ἀχριδῶν Μάρκον τὸν Ξυλοκαράβην· ἔκ τε τῆς ἐπιστολῆς ταύτης, ἀμφοῖν τοῖν ἐγγράφοιν, ἃ νῦν ἐκδίδωμι, παρασυνημμένης, κἀκ τοῦ πρώτου τούτων τεκμαίρομαι συνταχθῆναι τό τε γαμικόν, ὡς εἴρηται, συνάλλαγμα, στοιχεῖον ἄνωθεν Α φέρον, καὶ τὸ τῆς πράσεως, ὑπὸ τὸ στοιχεῖον Β γράμμα, ἐν αὐτῇ τῇ καθέδρᾳ τῆς αὐτοκεφάλου ἀρχιεπισκοπῆς Ἀχριδῶν. Ἀμφότερα μετεγράφησαν πιστῶς, ἀλλὰ καὶ ὀρθῶς εἰσιν ἐν τῷ ΡΞ' κώδηκι γεγραμμένα· οὕτως ὀρθότατα μετέγραψεν ὁ κάτοχος τοῦ κώδηκος τούτου τὰ βυζαντινὰ χροσόβουλλα καὶ πιττάκια περὶ τῆς ἐν Χίῳ Νέας Μονῆς, ἅτινα συμπληρῶν διὰ κώδηκος τῆς ἐν Χάλκῃ Θεολογικῆς Σχολῆς ἐξέδωκα τῷ* 1884 *διὰ τοῦ Δ' τόμου τῆς „Ἐκκλησιαστικῆς Ἀληθείας".*[2]) *Εἰρήσθω δὲ νῦν, ὁδοῦ πάρεργον, ὅτι τὴν ἐμὴν ἔκδοσιν ταύτην τῶν χρυσοβούλλων τῆς Νέας Μονῆς ἠγνόουν οἱ πολυμαθεῖς ἐκδόται τῶν πατριαρχικῶν ἐγγράφων, οἵτινες οὐ συγκατηρίθμησαν ἐν*

---

1) *Μνημεῖα τῆς Ἱστορίας τῶν Ἀθηναίων· ὑπὸ Δημ. Γρ. Καμπούρογλου· τόμ. Β'*, *σελ.* 354—360. *Τὴν σειρὰν ὅλην τῶν περὶ τῶν Ἀθηναίων ἐγγράφων, ὑπὸ τίτλον „Συμβολαὶ εἰς τὴν ἱστορίαν τῆς ἀποστολικῆς Ἐκκλησίας Ἀθηνῶν" ἐξέδωκα καὶ ἐν ἰδίῳ τεύχει, ἐκ σελίδων* 130, *ἐν Ἀθήναις*, 1891, *εἰς ἀντίτυπα τριακόσια.*

2) *„Ἐκκλησιαστ. Ἀληθείας" τόμ. Δ'*, *σελ.* 403—406, 411—413, 428—431 *καὶ* 444—448.

UNIVERSITÄTS BIBLIOTHEK LEIPZIG

Brought to you by | Simon Fraser University
Authenticated
Download Date | 6/10/15 10:41 AM

τῷ Ε′ τόμῳ τῆς σειρᾶς ταύτης, ἤτοι τῷ Β′ τῶν Acta Monasteriorum et Ecclesiarum.

Οἱ μελετήσαντες ὅμοια τοῖς νῦν ἐκδιδομένοις ὑπ' ἐμοῦ γράμμασιν εὑρήσουσι καὶ ἐν τοῖς μετὰ χεῖρας ὑπόμνησίν τινα τῆς ἐπὶ ξένων ἡμῖν τοῖς Ἕλλησιν ἐθνοτήτων καὶ φυλῶν ἐπιδράσεως ἡμετέρων ἐθῶν τε καὶ νομίμων, ἤγουν βυζαντινῶν. Τὰ νόμιμα ταῦτα ἦσαν εἰσηγμένα καὶ ἐν τῇ ἐνορίᾳ τοῦ τῶν Ἀχριδῶν, ἤτοι τῆς Βουλγαρίας, ἀρχιεπισκόπου· τούτου δ' οἱ κληρικοὶ καὶ πρῶτοι τῶν τῆς Ἐκκλησίας ἀξιωματικῶν (ὀφφικιάλοι κοινότερον) ἦσαν Ἕλληνες, ὡς αὐτὰ δεικνύουσι τὰ κατ' αὐτοὺς ἐπώνυμα. Πολλαὶ δὲ λέξεις τοῦ φθίνοντος ἑλληνισμοῦ, ὧν τινες μέν εἰσιν ἐν χρήσει καὶ σήμερον, ἕτεραί τινες ὅμως ἀνεξήγητοι μένουσιν εἰς πλείστους ἐξ ἡμῶν, παραδεικνύουσι τῶν δύο γραμμάτων τούτων τὴν ἡλικίαν, ἴσως δὲ σύνδρομα πρὸς τὸ ἔργον τοῦτο κατὰ μικρὸν γίνονται καὶ τὰ τῶν συμβαλλομένων ἐπώνυμα, βυζαντινὰ ὄντα, προφερέστερον δ' εἰπεῖν ἑλληνικά, ὡς τὰ τοῦ Ταρωνᾶ, Λαρδῦ, καὶ Δερμοκαΐτου. Καὶ Ταρωνᾶν μὲν καὶ Ταρωνίτην γινώσκομεν, εἰ δὲ προγενέστερός ἐστιν ἐκεῖνος τούτου οὐκ ἔχω λέγειν· Ταρωνίτης γὰρ ἀρχαιότερος, ὡς ἐμοὶ γνωστόν, ἀναφέρεται Μιχαὴλ ὁ πατρίκιος, ἀκμάζων ἐπὶ Μιχαὴλ αὐτοκράτορος τοῦ Παφλαγόνος (1034—1041)[1]), Ταρωνᾶ δὲ χωρίον ἢ μᾶλλον ἐκτάσεις γαιῶν ἀναφέρονται ἐν γράμματι τοῦ ἔτους 1289, ἐν Θεσσαλίᾳ κείμεναι, κατὰ πᾶσαν πιθανότητα[2]), καθὼς ἐγνώσθη καὶ Ταρωνᾶς Ἰσαάκιος[3]), ζήσας περὶ τὰ μέσα ἢ καὶ πρὸ τῶν μέσων τῆς ΙΓ′ ἑκατονταετηρίδος. Τῶν δὲ Δερμοκαΐτῶν ὁ παλαιότερος, Μιχαὴλ ὀνόματι, καὶ γεγονὼς ὑποστράτηγος, σύγχρονος ἦν Μιχαὴλ τῷ Ταρωνίτῃ.[4]) Δερμοκαΐτας ἑτέρους γινώσκομεν ἐπὶ τῆς ἐν Βυζαντίῳ φραγκοκρατίας, ἕνα δὲ μικρῷ πρὸ τῆς ἁλώσεως τῷ 1450 ἐν Ἴμβρῳ τῇ νήσῳ ἴσως θανόντα.[5]) Ταῦτα δὲ πάντα παρωθοῦσί με συμπεραίνειν ὅτι τὰ δύο συμβόλαια τὰ μετὰ χεῖρας ἐγράφησαν μετὰ τὴν ΙΓ′ καὶ ἢ κατὰ τὴν ΙΔ′, ἢ κατὰ τὴν ΙΕ′ ἑκατονταετηρίδα, καὶ καθὸ τοιαῦτα ἔκρινα ἐκδόσεως καὶ μελέτης ἄξια.

1) Κεδρηνοῦ Σύνοψις Ἱστοριῶν· Βόννης· τόμ. Β′, σελ. 531. Ἰδὲ δὲ καὶ τοῦ Δουκαγγίου Familiae Augustae Byzantinae, σελ. 144 κατὰ τὴν ἔκδοσιν Βενετίας, τοῦ 1729.

2) Δελτίον Ἱστορικῆς καὶ Ἐθνολογικῆς Ἑταιρίας τῆς Ἑλλάδος· τόμ. Α′, σελ. 119.

3) Ἱεροσολυμιτικῆς Σταχυολογίας Ἀνάλεκτα· ἐν Πετροπόλει, 1894, τόμ. Β′, σελ. 339.

4) Κεδρηνοῦ, αὐτόθι, τόμ. Β′, σελ. 527—528.

Τὸ δὲ ἐπώνυμον Λαρδῦς εὑρίσκω κατὰ πρῶτον ἀναφερόμενον τῷ 600, ὅτε ἔζη Κωνσταντῖνος ὁ Λαρδῦς, συγκλητικὸς καὶ πατρίκιος. Θεοφ. Σιμοκάττης· Βόννης, σελ. 331.

5) Νικηφόρου Γλυκᾶ μητροπολίτου Μεθύμνης: Ἀνέκδοτοι ἐπιγραφαὶ Ἴμβρου ἐν Ἀρχαιολογικῷ παραρτήματι ΙΓ′ τόμου τοῦ Ἑλλην. Φιλολογικοῦ Συλλόγου, σελ. 13.



Brought to you by | Simon Fraser University
Authenticated
Download Date | 6/10/15 10:41 AM

*Α.*

*Σίγνον τῆς ἁγιωτάτης* | *Θεοδώρας θυγατρὸς τοῦ μεγάλου οἰκονόμου ἐκείνου ἀρχιεπισκοπῆς Βουλγαρίας τοῦ Ἰβηραπούλου, συζύγου δὲ χρηματισάσης Σ[τεφάνου]*[1] *καὶ πρωτονοβελισσίμου πόλεως Ἀχρίδος τοῦ Δερμοκαΐτου.*

*† Ἐν ὀνόματι τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, καὶ τῆς κυρίως καὶ ἀληθῶς ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.*

*Θεοδώρα θυγάτηρ τοῦ μεγάλου οἰκονόμου τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Βουλγαρίας κὺρ Δημητρίου ἐκείνου τοῦ Ἰβηροπούλου, σύζυγος δὲ χρηματίσασα Σ[εργίου] καὶ πρωτονοβελισσίμου πόλεως Ἀχρίδος τοῦ Δερμοκαΐτου ἐκείνου, ἡ ἄνωθεν τοῦ παρόντος ὕφους τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν ἐγχαράξασα, τὴν παροῦσαν ἔγγραφον καὶ ἐνυπόγραφον τοῦ πρώτου γαμικοῦ συναλλάγματος ἀντισύγγραφον συμφωνίαν καὶ ἀσφάλειαν μεθ' ἱερᾶς εὐχῆς μνηστείας, ἀῤῥαβῶνος, καὶ γάμου τίθημι καὶ ποιῶ ἑκουσίᾳ μου βουλῇ τῇ θυγατρί μου, αὐτοπροαιρέτῳ βουλῇ καὶ θελήσει πράττουσα καὶ λογοποιοῦσα ὑπὲρ τῆς γνησίας μου θυγατρὸς Στρατηγῆς, τῆς καὶ τὸν τρισκαιδέκατον ἀνυούσης χρόνον, ἀπὸ μαρτυρίας ἐμοῦ τῆς γεννήτορος αὐτῆς· καὶ διὰ τοῦτο, καὶ αὐτῆς συναινούσης καὶ συμπραττούσης μοι ἐνθάδε, ἐπαποδεχομένης τὸ πρὸς αὐτὴν, ὡς εἴρηται, προβαῖνον γαμικὸν συνάλλαγμα· ἀπολέλυται γὰρ τῆς ἐμῆς χειρὸς καὶ ὑπεξουσιότητος, καὶ τὰ τῶν αὐτεξουσίων πράττειν συγκεχώρηται πρὸς ὑμᾶς τοὺς γονεῖς τοῦ μελλογάμβρου μου, τόν τε θεῖον αὐτοῦ κὺρ Θεόδωρον τὸν Ταρωνᾶν, καὶ τὴν θείαν αὐτοῦ κυρίαν Μαρίαν, τοὺς ὡσαύτως καὶ ὑμᾶς πράττοντας καὶ λογοποιοῦντας ὑπὲρ τοῦ περιποθήτου ὑμῶν ἀνεψιοῦ κὺρ Ἀλεξίου τοῦ Ταρωνᾶ, τοῦ ὡς ἀπὸ φωνῆς καὶ μαρτυρίας ὑμῶν χρόνων ὄντος τελείων, ἀλλὰ καὶ ἀπροσομιλήτου ἔτι νομίμου γάμου ὑπάρχοντος. Τοίνυν δέδοκται, ἤρεσται, ἐστοίχηται, καὶ συμπεφώνηται παρ' ἡμῶν ἐνώπιον καὶ τῶν ὑπογραψάντων μαρτύρων οὕτως· ὑπισχνεῖσθε καὶ γὰρ ὑμεῖς οἱ ἄνωθεν δηλωθέντες δοῦναι εἰς προῖκαν τῷ δηλωθέντι ἀνεψιῷ ὑμῶν ἐκ τῶν πατρικῶν αὐτοῦ καὶ μητρικῶν πραγμάτων, καὶ εἰς ὑπόβολον τῆς μελλοσυζύγου αὐτοῦ καὶ θυγατρός μου πράγματα τάδε· ἐν πρώτοις μὲν μετὰ τοῦ ἐλέους τοῦ Θεοῦ, ἐγκόλπια ἓξ χρήσιμα· καὶ εἰκόνισμα κεκοσμημένον ὁ ἅγιος Δημήτριος· εἶτα ἐπικαμυσοσύντροφα ζυγὰς β'· ἐπανωφόρια δ', τὸ ἓν σκαλουράτον μετὰ γούνης ἀλωπεϊκῆς, δύο ἕτερα πράσινα τζαλον..... καὶ τὸ τέταρτον ἠεράνιον· κουτζουβάκια δ' καθαρομέταξα, δύο τούτων*

1) *Σεργίου, ἴσως, Στεφάνου.*

Brought to you by | Simon Fraser University
Authenticated
Download Date | 6/10/15 10:41 AM

πρινοκοκκάτα, τὰ δὲ λοιπὰ δύο κίτρινα· κραββατοστρώσιον ἔχον ἐφαπλώματα δύο μεταξωτὰ, ἓν πρινοκοκκάτον, καὶ ἕτερον λερωτόν· τὰ δύο καθαρομέταξα· ἐπεύχιον, ἀνάπλιον, καὶ σινδόνιον· μαξιλάρια δύο· ζωνάρια β'· πουγκόπουλα β'· θεριακά[τα;] μαχαιρόπουλα τρία χρήσιμα· τὸ μὲν ἓν ψωρόστεον, τὸ ἕτερον μαργαριταρόριζον, καὶ τὸ τρίτον χλωροϋάσπιον· κοῦπαν περικεχρυσωμένην· σχολαρίκια ζυγαὶ τρεῖς χρυσαῖ· ἡ μία τούτων δεσποίνη λεγομένη, μετὰ μαργαριταρίων καὶ λιθαρίων· ἡ ἑτέρα τροχοτὸς μετὰ μαργάρων καὶ λίθων ἐμπήκ[των;], καὶ ἐπανωτίων μαργάρων χονδρῶν· καὶ ἡ τρίτη τρίκομπος· βραχιόνιον χρυσοῦν· τραχηλέαν παστρικὴν ἐκ μαργάρων χονδρῶν· ἑτέραν τραχηλέαν χρυσῆν, κλειδωτὴν, μετὰ μαργάρων καὶ λίθων· τριχοδέτας ἀργυροεπιχρύσους· δακτυλίδια χρυσᾶ ὀκτώ· σκούφια χρυσῆν σπαστρικήν· μαγνάδια δ'· κοχλιάρια δ' ἀργυρᾶ· καβαλαρίου ἄλογα δύο σελοχαλινωμένα· ζευγάριον βοεικόν· χωραφιαίαν γῆν μητρικὴν μοδίων ἑκατόν· ἀμπέλια ὀκτώ· αὐλὴν ἐντὸς τοῦ κάστρου, ἔχουσα ὀσπήτιον ἀνωγαιοκάτωγον καὶ μαγειρεῖον· ἀπὸ δὲ τῆς πατρικῆς αὐτοῦ γονικῆς ὑποστάσεως ἀπό τε ἀμπελίων, χωραφίων, αὐλῶν ἐκτὸς περιβολαίων, συκαμίνων δένδρων, καρύων, δένδρων ἑτέρων καρπίμων, μυλικῶν ἐργαστηρίων, αὐλῶν ἐντὸς τοῦ κάστρου, ἐργαστηρίων, στρούγας, κυνηγίου κατὰ τὸν δρυμῶνα, ἐκ πάντων τούτων τὸ τρίτον, ἤτοι ἀδελφομοίριον, σὺν τῇ εὐχῇ τῶν ἀγαθῶν χριστιανῶν καὶ τῶν αὐτοῦ γονέων. Ὡς πρὸς ταῦτα ἐγὼ ἡ ῥηθεῖσα ἄνωθεν Θεοδώρα ὑπισχνοῦμαι παρασχεῖν εἰς προῖκα καὶ κληρονομίαν πατρικὴν καὶ μητρικὴν τῇ τοιαύτῃ μου θυγατρὶ ἀπὸ τῶν πραγμάτων ἡμῶν ταῦτα· καὶ γὰρ ἔφθασα μετὰ τοῦ ἀνδρός μου ἐκείνου, ἔτι τῷ βίῳ περιόντος, ὅτε καὶ εἰς λόγους συμφωνίας ἤλθομεν περὶ τοῦ παρόντος συναλλάγματος καὶ πεποιήκαμεν κατάστιχον σύμφωνον τῇ τοιαύτῃ θυγατρὶ ἡμῶν, ἥτινι δεδώκαμεν ἀπὸ τῆς περιουσίας καὶ τοῦ γονικοῦ ἡμῶν ὑποστατικὰ μερικῶν τινῶν, ἐλπίδι τοῦ ὀφθῆναι ἡμᾶς ἴσως καὶ ἑτέρων παίδων πατέρας· ὡς δὲ τὴν ἐλπίδα, φεῦ, ἡ τομὴ τοῦ θανάτου διεδέχετο, τὰ λοίσθια πνέων ὁ σύζυγος διέθετο, σώας ἔχων τὰς φρένας καὶ ὑγιεῖς, ὃ ἂν ἐπὶ τοῖς δυσὶ παισὶν ἡμῶν διαπράξωμαι, τοῦτ' ἵν' ἔχῃ τὸ στέργον· δίδωμι τοίνυν τῇ θυγατρί μου ἐν πρώτοις μὲν τὸ τοῦ θεοῦ μέγα καὶ πλούσιον ἔλεος· εἶτα καρκάλια στ'· φακεώλια στ', ἐξ ὧν τὰ δ' μαγνάδια, τὰ δὲ δύο λινομέταξα· τὰ πλίτα δὲ χρυσόλωρα· καρτζουβάκια τέσσαρα, τὰ μὲν τρία ......

(desunt cetera).



Brought to you by | Simon Fraser University
Authenticated
Download Date | 6/10/15 10:41 AM

*B.*

σίγνον | Κωνσταντῖνος ὁ Ῥωμανὸς τὸ πα-<br>
——— | ——— ρὸν πρατήριον ὑπέγ[ραψα].<br>
ἱερ | εὐς

σίγνον | Μαγουλᾶς τοῦ Βλαδιμηροῦ οἰκείᾳ χειρὶ<br>
——— | ———<br>
| προέταξα.

Ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Ἱερεὺς Κωνσταντῖνος ὁ Ῥωμανὸς καὶ Μαγουλᾶς ὁ Βλαδιμηρός, οἱ ἄνωθεν τοὺς τιμίους καὶ ζωοποιοὺς σταυροὺς μετὰ τῆς οἰκείας προσηγορίας ἐγχαράξαντες, τὴν παροῦσαν ἡμῶν ἐνυπόγραφον, ἔγγραφον, καθαρὰν, ἀδολίευτον, ἀπερίεργον καὶ τελείαν διάπρασιν ἀπ' ἐντεῦθεν ἤδη μετὰ καθολικοῦ δεφενσίωνος καὶ γενικῆς ὑποθήκης, μετὰ ἀποχῆς καὶ ἀσφαλείας τιθέμεθα καὶ ποιοῦμεν ἑκουσίως, αὐτοθελῶς, καὶ αὐτοπροαιρέτως, μετὰ πολλῆς ἡμῶν τῆς ἀποδοχῆς καὶ ἄλλης παντοίας ἀναμφιλέκτου ἀρεσκείας καὶ θελήσεως ἡμῶν· δι' ἧς καὶ πιπράσκομεν πρὸς σὲ, Κωνσταντῖνον τοῦ Μύρου, τὸ εἰς τὴν Μποτζέριανην μητρικὸν ἡμῶν ἀμπέλιν, ὅπερ ἐπαφῆκεν ἐνδιαθήκως ἡμῶν ἡ μήτηρ ἐκείνη πραθῆναι ἕνεκεν ἐξόδου τῶν μνημοσύνων αὐτῆς, πλησίον ἀμπελίου τῆς σεβασμίας μονῆς τοῦ αὐθέντὸς ἡμῶν τοῦ ἁγίου Κλήμεντος, καὶ πλησίον ἀμπελίου τοῦ θείου ἡμῶν τοῦ Ῥωμανοῦ ἐκείνου· πιπράσκεται δὲ τοῦτο πρὸς σὲ ἐπὶ τιμήματι δικαίῳ καὶ πάντῃ ἀρέσκοντι ἡμῖν, εἰς νομίσματα ὑπέρπυρα τεσσαράκοντα πέντε· ἐξ ὧν ἀνελάβετο ἡ μήτηρ ἡμῶν ἐκείνη, ὅτε σοι ὑπέθετο αὐτὸ ἐνέχειρον καὶ τῷ Λέοντι τῷ Λάρδεσι, ὑπέρπυρα Κ', δέδωκας καὶ τῷ Λάρδεσι τανῦν ὑπέρπυρα δέκα ὡς δῆθεν ἐξ ἡμῶν καὶ ἡμῶν ἕνεκεν ἐξόδου τῶν μνημοσύνων τῆς μητρὸς ἡμῶν, δέδωκας ὑπέρπυρα δεκαπέντε σῶα καὶ ἀνελλιπῆ. Ὀφείλεις τοίνυν καὶ σὺ ὁ ἀναγεγραμμένος Κωνσταντῖνος τοῦ Μύρου μετὰ τοῦ μέρους σου ἀπό γε τοῦ νῦν δεσπόζειν καὶ κατακυριεύειν τοῦ ἄνωθεν δηλουμένου ἀμπελίου, κατὰ τελείαν καὶ ἀναφαίρετον δεσποτείαν καὶ κυριότητα, καὶ κατὰ τοὺς περὶ πράσεως κειμένους νόμους, ἔχων ἐξουσίαν πωλεῖν τοῦτο, δωρεῖσθαι, προικοδοτεῖν, ἀνταλλάττειν, ἐν ἐκκλησίᾳ ἀφιεροῦν, ἀλλαχοῦ ἔνθα ἂν βούλοιο παραπέμπειν, κληρονόμοις καταλιμπάνειν καὶ διαδόχοις, καὶ τἄλλα πάντα ποιεῖν καὶ πράττειν ἐπ' αὐτῷ ἀκωλύτως, ὅσα οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι τοὺς τελείους τῶν πραγμάτων δεσπότας ἐπὶ τοῖς ἑαυτῶν πράγμασι ποιεῖν βούλονται· ἡμῶν δὴ καὶ τοῦ μέρους ἡμῶν μηδεμίαν μετουσίαν ὀφειλόντων ἔχειν ἐπὶ τούτῳ, ὡς ἐκστάντων τελείως ἐκ τῆς αὐτοῦ δεσποτείας καὶ κυριότητος. Ἐπερωτώμεθά σοι τοίνυν καὶ τῷ μέρει σου, ὡς ἐὰν ἀπὸ τῆς ἄρτι ἐκ μεταμελείας τυχὸν, εἴτε ὡς ἀπό τινος νομικῆς ἰσχύος ἢ βοηθείας, ἀνατρέψαι ἢ ἀλλοιῶσαι τὴν

Brought to you by | Simon Fraser University
Authenticated
Download Date | 6/10/15 10:41 AM

παροῦσαν ἡμῶν οἰκειοθελῆ πρᾶσιν ἐπιχειρήσωμεν, καὶ οὐ[1]) μᾶλλον καὶ τὸν καθολικὸν ποιοῦμεν δεφενσίωνα καὶ τῷ μέρει σου, ἵνα μὴ εἰσακουώμεθα ἐφ' οἷς ἂν ἔχωμεν προτείνειν καὶ λέγειν, ἀλλὰ καὶ ἀπελαύνεσθαι κρίνομεν αὐτοὺς ἀξίους ἀπὸ παντὸς δικαστηρίου κοσμικοῦ καὶ ἐκκλησιαστικοῦ, ζημιούμενοι, καὶ κατὰ νόμους ἀντιστρέφοντες διπλασίως καὶ ὅπερ ἀνελαβόμεθα τίμημα· καὶ οὕτως ἵνα ἔῤῥωται καὶ ἡ παροῦσα πρᾶσις ἡμῶν πάγιος, ἀῤῥαγής, βεβαία, ἀπερικλόνητος, καὶ ἐπὶ πᾶσι τοῖς νόμοις εὐπρόσδεκτος, τοῦ ὕφους γραφέντος, τῇ ἡμετέρᾳ προτροπῇ καὶ θελήσει, χειρὶ τοῦ πρωτονοταρίου τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Βουλγαρίας καὶ ταβουλλαρίου Γεωργίου τοῦ Καλαβροῦ.

μηνὸς ὀδεῖνος· ἔτους ὀδεῖνα· Ἰνδικτιῶνος ὀδεῖνα.

Ἐπεὶ δὲ ἐξωδιάσθησαν εἰς προταγὰς καὶ ὑπογραφὰς καὶ ἀλλοίαν ἔξοδον δοῦναι μα', ἐγράφη καὶ ταῦτα διὰ πίστωσιν.

ὑπογράφουσιν οἱ μάρτυρες.

---

Ἐν Κωνσταντινουπόλει, 15 ἀπριλίου 1895.

Μανουὴλ Ἰω. Γεδεών.

1) οὕτως ἐν τῷ χειρογράφῳ, ἀντὶ τοῦ ὀρθοῦ: οὐ.

Brought to you by | Simon Fraser University
Authenticated
Download Date | 6/10/15 10:41 AM